Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 95



ῳ ἐκλήθη τόπῳ, μᾶλλον εὑρήσει ἀνάπαυσιν. Ὁ ἐξουθενῶν τὰ ὀλίγα, κατὰ μικρὸν πεσεῖται, καὶ ἡ ὀκνηρία κατὰ μικρὸν τίκτει ἀκούσιον πενίαν. Μὴ ἀπαναίνου νουθεσίαν ἁγίων ἀνδρῶν, κἂν γνωστικὸς τυγχάνῃς· καὶ τοῦτο γὰρ καρπὸς γνώσεως. Ἥττημα μοναχῷ, συγκοινωνεῖν φατρείᾳ, καὶ ὁ μισθὸς αὐτοῦ λύπη καὶ μετάμελος. Γέγραπται, δικαίων ἐγκωμιαζομένων, εὐφρανθήσονται λαοί· ὄνομα δὲ ἀσεβῶν σβέννυται. Καὶ πάλιν· ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη. Καὶ πάλιν· δοκίμιον ἀργυρίου καὶ χρυσίου, πύρωσις· καὶ ἄνθρωπος δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων αὐτόν. Φυλάσσει νόμον υἱὸς συνετός· ὁ δὲ ἐπιμελῶν ἀσωτίᾳ, ἀτιμάζει πατέρα. Τίμα πάντας διὰ τὸν Κύριον, τιμὴν μὴ ἀπαιτῶν, καὶ παρὰ Κυρίου εὑρήσεις χάριν. Γέγραπται· ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων, οὐκ ἀγαθός· ὁ τοιοῦτος ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα. Πάλιν γέγραπται· μακάριος ἀνὴρ, ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν· ὁ δὲ σκληρὸς τῇ καρδίᾳ πεσεῖται κακοῖς. Ἀνδρὸς φιλοῦντος σοφίαν εὐφραίνεται ὁ πατὴρ αὐτοῦ· ὁ δὲ ποιμαίνων πόρνας ἀπολεῖ πλοῦτον. Κρεῖσσον ποιμαίνεσθαι ἐπιμελῶς, ἢ ποιμαίνειν ἀμελῶς. Κρεῖσσον μανθάνειν ἐπιμελῶς, ἢ διδάσκειν καὶ πράττειν ἃ μὴ δεῖ. Ὁ παιδεύων αὐτὸν, καὶ παιδεύει τὸν ἕτερον· καὶ ὁ διδάσκων ἑαυτὸν, διδάσκει τὸν πλησίον. Μὴ ἐπιβάρει σὸν ἀδελφόν· ἐὰν γὰρ ἐπιθῇς γόμον τῷ κτήνει σου ὑπὲρ δύναμιν, κατὰ μέσον τῆς ὁδοῦ συγκάθηται. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, ἐμπείρως ἔχε· καὶ μνήσθητι τὴν παρὰ τοῦ Θεοῦ σοι βοήθειαν γενομένην. Μὴ δῷς τὴν ἀκοὴν φθόγγοις αἰσχροῖς, ἵνα μὴ μολυνθῇ σου ὁ νοῦς. Ὥσπερ γὰρ καπνὸς ὄμμασιν, οὕτως λόγος αἰσχρὸς βλάπτει ψυχήν. Ἐὰν πνεῦμα πορνείας ἐνοχλήσῃ σοι, ἐπιτίμησον αὐτῷ, λέγων· ὁ Κύριος καταργήσει σε, μεστὲ τῆς δυσωδίας, ὁ δαίμων τῆς ἀκαθαρσίας. Οἴδαμεν γὰρ τὸν εἰπόντα· τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν. Οὐκ ἔστι σοφία, οὐκ ἔστι φρόνησις, ἔνθα φόβος Θεοῦ οὐχ ὑπάρχει· πλησμονὴ γὰρ σοφίας, φοβεῖσθαι τὸν Κύριον. Γέγραπται· φῶς δικαίοις διαπαντός· φῶς δὲ ἀσεβῶν σβέννυται. Δένδρον ζωῆς, ἐπιθυμία δικαίου· ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων. Ἀπὸ πολυλογίας οὐκ ἐκφεύξεται ἁμαρτία. φειδόμενος δὲ χειλέων νοήμων ἔσται. Λογισμοὶ δικαίων, κρίματα· κυβερνῶσι δὲ ἀσεβεῖς δόλους. Ὁ προηγούμενος τιμῇ τὸν πλησίον, εὑρήσει τιμήν· ὁ δὲ μὴ εὐλαβούμενος πρόσωπον ἀδελφοῦ αὐτοῦ, κόπῳ παιδευθήσεται. Ἐὰν συνεσθίῃς ἀδελφοῖς, κατὰ κανόνα χάλα ἐν τῷ πίνακι. καὶ γὰρ τρυγὼν καὶ χελιδὼν, καὶ ἀγροῦ στρουθία ἐφύλαξαν καιροὺς εἰσόδου αὐτῶν. Χάλα, καὶ μὴ ἐνέαζε διὰ τοὺς

A loco, permanet, majorem requiem inveniet.
Qui parvipendit exigua, paulatim cadet: & pigritia sensim invitam atque odiosam paupertatem generat. Noli despicere sanctorum virorum admonitiones, quantumvis intelligens sis ac prudens: in hoc enim cognitionis atque scientiæ fructus cernitur. Indignum est monacho in conventiculis versari: & merces ejus,
dolor & pœnitentia. Scriptum est: *Dum lau-* Prov. 29.
*dantur justi, lætantur populi: nomen autem im-*
B *piorum extinguitur.* Et rursus: *Laudet te vici-* Prov. 27.
*nus, & non os tuum: alienus, & non labia tua.*
Et iterum: *Probatio argenti & auri, ignitio: homo autem probatur per os laudantium ipsum.* Filius intelligens custodit legem: qui autem pascitur luxu, dedecorat patrem. Honora cunctos propter Dominum, honorem tibi non repetens: & gratiam a Domino invenies. Scriptum habetur: Qui non reveretur faciem justorum, non bonus: & qui talis est, buccel-
C la panis vendet virum. Et rursus: *Beatus* Prov. 28.
*vir, qui veretur omnia ob religionem: durus autem corde, incidet in mala. Viri sapientiam*
*amantis, lætatur pater ejus: qui autem pascit* Prov. 29.
*meretrices, disperdet divitias.* Satius est pasci diligenter, quam pascere negligenter. Melius est studiose addiscere, quam docere, & agere quæ non oportet. Qui seipsum instituit, etiam alios instituit: & qui seipsum docet, etiam proximum docet. Noli nimium one-
D rare fratrem tuum: nam si onus jumento tuo imposueris, quod vires superet, in medio viæ deficiet atque succumbet. In omnibus, quæ acciderint tibi, prudenter te gere, & auxilii memineris tibi allati a Domino. Ne turpibus locutionibus aures tuas præbeas, ut mens tua non inquinetur. Sicut enim oculis obest fumus, ita turpis sermo nocet animæ. Si fornicationis te spiritus turbet, increpa eum, dicens: Dominus te perdat, qui pessimo fœto-
E re plenus es, dæmon immunditiæ. Novimus
quippe eum, qui ait: *Sapientia carnis, inimi-* Rom. 8.
*citia est in Deum.* Non est sapientia, non est prudentia, ubi Dei timor non est: nam satietas sapientiæ est timere Dominum. Scriptum
est: lux justis assidue; lux vero impiorum ex- Prov. 10. 11.
tinguitur. Arbor vitæ desiderium justi: qui 12. 13.
autem reprehensiones odit, demens est. A multiloquio non effugiet peccatum: parcens autem labiis, sensatus erit. Cogitationes ju-
F storum, judicia: gubernant autem impii dolos. Qui honore prævenit proximum suum, honorem inveniet: at qui non reveretur faciem fratris sui, cum labore atque molestia corripietur. Si cum fratribus comedis, secundum canonem ac regulam demitte te in patinam. Nam & turtur, & hirundo, & agri passeres custodierunt tempora ingressus sui. Demitte te, neque juveniliter agas propter mino-

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0343
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg